ἀνεκτός· ἀλλὰ καὶ κινητικὸ⟨ν⟩ ταύτῃ διάστημα δοτέον
ἐπιχωροῦντος τοῦ κόσμου διὰ μέγεθος. πρὸς δὲ τὸν
ἀξιοῦντα πᾶν εὐθὺς ἄνω καὶ μετέωρον εἶναι τὸ ἀπὸ τῆς
γῆς ἕτερος ἀντηχεῖ πάλιν εὐθὺς εἶναι κάτω τὸ ἀπὸ τῆς
ἀπλανοῦς περιφορᾶς.

11. Ὅλως δὲ πῶς λέγεται καὶ τίνος ἡ γῆ μέση κεῖ-
σθαι; τὸ γὰρ πᾶν ἄπειρόν ἐστι, τῷ δ' ἀπείρῳ μήτ' ἀρχὴν
ἔχοντι μήτε πέρας οὐ προσήκει μέσον ἔχειν· πέρας γάρ
τι καὶ τὸ μέσον, ἡ δ' ἀπειρία περάτων στέρησις. ὁ
F δὲ μὴ τοῦ παντὸς ἀλλὰ τοῦ κόσμου μέσην εἶναι τὴν γῆν
ἀποφαινόμενος ἡδύς ἐστιν, εἰ μὴ καὶ τὸν κόσμον αὐτὸν
ἐνέχεσθαι ταῖς αὐταῖς ἀπορίαις νομίζει. τὸ γὰρ πᾶν οὐδὲ
τούτῳ μέσον ἀπέλιπεν, ἀλλ' ἀνέστιος καὶ ἀνίδρυτός ἐστιν
ἐν ἀπείρῳ κενῷ φερόμενος πρὸς οὐδὲν οἰκεῖον· εἰ ⟨δ'⟩ |
926 ἄλλην τινὰ τοῦ μένειν εὑράμενος αἰτίαν ἕστηκεν, οὐ κατὰ
τὴν τοῦ τόπου φύσιν, ὅμοια καὶ περὶ γῆς καὶ περὶ σε-
□ λήνης εἰκάζειν τινὶ πάρεστιν, ὡς ἑτέρᾳ τινὶ τύχῃ καὶ φύ-
σει μᾶλλον ⟨ἢ τόπου⟩ διαφορᾷ τῆς μὲν ἀτρεμούσης ἐν-
ταῦθα τῆς δ' ἐκεῖ φερομένης. ἄνευ δὲ τούτων, ὅρα
μὴ μέγα τι λέληθεν αὐτούς· εἰ γάρ, καὶ ὁπωσοῦν ὅ τι
ἂν ἐκτὸς γένηται τοῦ κέντρου τῆς γῆς, ἄνω ἐστίν, οὐθέν
ἐστι τοῦ κόσμου κάτω μέρος, ἀλλ' ἄνω καὶ ἡ γῆ καὶ τὰ
ἐπὶ γῆς, καὶ πᾶν ἁπλῶς σῶμα τὸ κέντρῳ περιεστηκὸς ἢ
περικείμενον ἄνω γίνεται, κάτω δὲ μόνον [ὂν] ἕν, τὸ
ἀσώματον σημεῖον ἐκεῖνο, ὃ πρὸς πᾶσαν ἀντικεῖσθαι τὴν
B τοῦ κόσμου φύσιν ἀναγκαῖον, εἴ γε δὴ τὸ κάτω πρὸς τὸ